eul_wid: rzs-aa

*Μαρκελλῖνος ἰατρός* · Marcellinus the Physician

# On Pulses

## *Περὶ Σφυγμῶν*

**Period:** *Ὀψιμαρχαΐα* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

[55] ΜΑΡΚΕΛΛΙΝΟΥ ΠΕΡΙ ΣΦΥΓΜΩΝ. Σφυγμοῦ θ〈ιγ〉εῖν καὶ περὶ σφυγμῶν ὅσα χρὴ μαθεῖν πάνυ πολλὰ διενήνοχε· τὸ μὲν γὰρ οὐκ οἶδ' εἴ τις ....... τῶν ἰδιωτῶν οὐκ ἐτόλμησεν ἢ τοῦ ἰατρὸς ἢ τοῦ φιλίατρος εἶναι δόξαν ἀγαπῶν· καὶ ....... ........ χαλεπὸν οὐδὲν εἶναι δοκεῖ, πᾶσιν ἔξεστι. τὴν δὲ περὶ σφυγμῶν σημείωσιν διὰ τὴν χειρὸς ἐμπειρίαν καὶ διὰ γνώμης θεωρίαν—ὀκνῶ λέγειν—ἢ σπανίως γέ τις ἢ οὐδεὶς ὁ μαθών τε καὶ μελετήσας εὑρέθη· τῇ τε γὰρ διὰ τῶν δακτύλων ἁφῇ πολλῷ πάνυ χρόνῳ δεῖ δουλεύειν τὸν λογισμόν, αὐτὴν δὲ τὴν αἴσθησιν ἀνάπαλιν ταχθῆναι παρὰ τῇ γνώμῃ καὶ φῶς ἐκεῖθεν λαβοῦσαν παιδευθῆναι τὸ μάθημα. καὶ ἔτι γὰρ συνοδεῦσαι δεῖ πρὸς ταῦτα ἀκριβῶς αἴσθησίν τε καὶ νοῦν· διὸ καὶ τὸν Ἐρυθρ〈αῖ〉ον ἐπῄνεσα θαυμάσαντα, πῶς ἔνιοι προπετέστερον τῶν Ἡροφιλείων ἀκριβείας τὰ πρῶτα ἔδοσαν τῇ περὶ ἐκκρίσεων πραγματείᾳ· κατ' οὐδὲν γάρ φησιν ἀγχινοίας ἐλάττονος δεῖσθαι τὴν περὶ σφυγμῶν ἐμπειρίαν. τὸν δὲ Ταραντῖνον Ἡρακλείδην καὶ Φιλῖνον τοὺς ἐμπειρικοὺς ἄχρηστον λέγοντας τὴν περὶ σφυγμῶν σημείωσιν τίς οὐκ ἂν δικαίως μεμηνέναι δόξειε τοὺς εἰς σημείωσιν τοὺς ἰατρικοὺς ἐκκόπτοντας ὀφθαλμούς; καὶ τὰ μὲν τοῦ σώματος ὄμματα μόνον ἴσασι τὸ παρόν, χρόνος τε γὰρ αὐτοῖς καὶ τόπος καὶ σκότος εἰς γνῶσιν πολέμια· θίξις δὲ ὀξυωπεστέρα ἰητροῦ καὶ τὸ κεκρυμμένον ἐθεάσατο καὶ τὸ μέλλον πολλάκις ἐμαντεύσατο. τοῦτο μὲν οὖν οὐδ' οἱ Λυγκέως ἠδυνήθησαν εὑρεῖν ὀφθαλμοί. τίς δ' ἂν καὶ μεταπείσειεν αὐτοὺς λόγος τοὺς ὑπ' αὐτῶν τῶν πραγμάτων μὴ δυσωπουμένους; ἀναγκαία γὰρ καὶ ἡ δι' οὔρων τε καὶ σκυβάλων καὶ ἱδρώτων καὶ τῶν ἄλλων ἐκκρίσεων ἐπιφαινομένων ἐπίσκεψις, ἀλλ' οὐ διηνεκὴς οὐδὲ ἀχώριστος, καὶ ἀποπέμπει τὸν τεχνίτην πολλάκις μηδὲν ἐγνωκότα· ἡ δὲ ἐπὶ τὴν χεῖρα τοῦ κάμνοντος ἔκτασις πρῶτον μὲν ῥᾳδία καὶ διηνεκής, εὐπρεπής τε καὶ εὐσχήμων καὶ τὸ „ὁρεῖ τε δεινὰ θιγγάνει τε ἀηδέων“ οὐκ ἔχουσα. καὶ ἔστιν εὐόνειϊστον πρὸς τὸν θεραπεύοντα τοῦ νοσοῦντος ἡ δεξίωσις, οἷον ἂν εἴ[δ]η θέαμα βασιλεὺς ἰατροῦ δεόμενος ὀρέγων τὴν δεξιάν· καὶ ἄν τε καταλάβῃ τὸ κίνημα τῆς ἀρτηρίας ὁ ἰατρός, εὗρεν ὃ ἐζήτει, ἄν θ' ὑποπέσῃ μηδέν, σημειοῦται καὶ τότε καὶ οἶδεν ἐκ τῆς ἀσφυγξίας τὸ νόσημα. ἀναθείη〈ν〉 δ' ἂν τὴν εὕρεσιν αὐτοῦ θεῷ, ἀνθρώπῳ〈ν〉 δ' Ἱπποκράτει ῥυέντος ἐκεῖθεν τοῦ μαθήματος εἰς αὐτόν. τοῦτο δὲ οὐκέτ' ἂν εἰκάζοιμι, ἀλλ' ἤδη καὶ δείκνυμι· „φλεβῶν“ γὰρ „διασφύγξιες καὶ ἀναπνοὴ πνεύμονος καθ' ἡλικίην καὶ ξύμφωνα 〈καὶ διάφωνα〉 καὶ νούσου καὶ ὑγιείας σημεῖα“. φλέβας γὰρ τὰς ἀρτηρίας σύνηθες αὐτῷ καλεῖν, ὅτε καὶ ἀρτηρίαν οἶδε τὸν βρόγχον. χαίρει τοίνυν μᾶλλον πρὸς φλέβας ἀρτηριῶν 〈.......〉 ἀντὶ τῆς πρὸς τραχεῖαν ὁμωνυμίας διὰ τὴν κατὰ τὸ σῶμα ὁμοιότητα καὶ διότι ἄμφω

κέκρυπται ἀνατομῆς εἰς δεῖξιν δεόμενα καὶ τὰ ἔργα 〈τῆσ〉 φύσεως ἐν αὐτοῖς ὁρᾷ. ἀλλὰ καὶ φυλα ἃ καθ’ ἡλικίαν ξυμφώνῳ τε 〈καὶ δια〉 φώνῳ τῆς διασφύγξιος τούς τε εὐρύθμους καὶ παραρρύθμους καὶ ἑτερορρύθμους ἐδίδαξεν 〈 ... 〉 τῳ βραχυλογίᾳ, παντί τῳ δῆλον. μυρίων δὲ καὶ ἄλλων ὄντων, δι’ ὧν ἄν τις τὴν διὰ σφυγμῶν σημείωσιν ἀποδείξειε, μακρολογίας φείσομαι. μετὰ δὲ τοῦτο Αἰγίμιός τε καὶ Χρύσιππος, ἔπειτα Ἐρασίστρατος τελειότερον καὶ κατὰ τὴν Ἱπποκράτους γνώμην ἥψαντο σφυγμοῦ 〈.....〉 · ὅθεν μοι δοκεῖ καὶ τῆς δι’ ἐκκρίσεων σημειώσεως τὰ πολλὰ καταμελήσας συνθέσθαι τῇ διὰ σφυγμῶν θεωρίᾳ. Ἱπποκράτους γὰρ πρὸς ἐπίγνωσιν τῶν νοσημάτων πολυπρόσωπον ἀθροίσαντος μαντικὴν καὶ πάντα εἰς τοῦτο ἐρανίσαντος „ἃ καὶ ἰδεῖν καὶ θιγεῖν καὶ ἀκοῦσαί ἐστιν· ἃ καὶ τῇ ὄψει καὶ τῇ ἁφῇ καὶ τῇ ἀκοῇ καὶ τῇ ῥινὶ καὶ τῇ γλώσσῃ καὶ τῇ γνώμῃ ἔστιν αἰσθέσθαι“, ὅπως μηδὲν ἐκφύγῃ νόσημα τοὺς μυρίους τῆς τέχνης ὀφθαλμούς, καὶ περὶ μὲν τῶν ἄλλων συντάγματα καταλιπόντος τελείως διδάσκοντα, τὸ Προγνωστικόν, τὸ Προρρητικόν, τὰς Κωακὰς Προγνώσεις, τὴν δὲ περὶ σφυγμῶν θεωρίαν εὑρὼν ἔλαττον μνήμης ἔχουσαν τῆς εἰς διδασκαλίαν χρείας, τὸ λεῖπον οὐ προσεξεῦρεν, ἀλλὰ μᾶλλον ἐδίδαξε· περὶ δὲ τῶν ἄλλων οἷον οὔρων ὅτι τὰ Ἱπποκράτους ἀνενδεῶς ἔχει, αὐτὸς ἐσιώπησε. [55]

(50) Τί μὲν οὖν ἐστι κατὰ τὴν γένεσιν ὁ σφυγμός, εἴτ’ ἐκθυμίασις ἐμφύτου θερμοῦ κατὰ τὴν ὁλκὴν συστρεφομένου καὶ κατὰ τὴν διαπνοὴν πρὸς διαστολὴν ἁπλουμένου, πρὸς ἀμφοτέρας τὰς κινήσεις τῶν ἀρτηριῶν ἐπαγομένων τὰ σώματα· εἴτε ῥεῦμα πνεύματος χορεύοντος ἐν ἀρτηρίαις ἐναρμόνιον δρόμον τῇ παρὰ καρδίας πειθόμενον βολῇ τε καὶ κατὰ τὰ πλάγια τῶν ἀρτηριῶν ὁλκῇ· εἴτε ὁδὸς ἀέρος ἀναγκαία πρὸς λεπτομέρειαν, ἐπεὶ τὰ πάντα τὸ πνεῦμά ἐστιν ἐξωφόρον ἀεὶ καὶ δι’ ἐπιφανείας κατὰ τὸ στόμα τῶν ἀρτηριῶν ταῖς μυρίαις ὁδοῖς ἕλκεται, ἄλλος τέ ποτε καὶ ἄλλος διδάξει λόγος· εἰς γὰρ τὴν προκειμένην πραγματείαν τί ποτέ ἐστιν ὁ σφυγμός, ὁρικῶς εἰδέναι χρή, τὸ δ’ ὑφ’ οὗ γίνεται ἢ πῶς ἢ δι’ ὅτι μὴ ῥηθὲν οὐ λείπει. Τίς 〈ὁ〉 ὅρος σφυγμοῦ. Οὔτε Ἱπποκράτης οὔτε Αἰγίμιος, ἀλλ’ οὐδὲ Χρύσιππος οὐδὲ Ἐρασίστρατος ὡρίσαντο ὅρον σφυγμοῦ· οἱ μέντοι νεώτεροι ἄλλοι ἄλλως· καὶ ὁ μὲν Ἡγήτωρ μόνον· σφυγμός ἐστιν ἀρτηριῶν διάστασις καὶ συστολή· Βακχεῖος δὲ ὁ Ἡροφίλειος σφυγμὸν εἶπεν εἶναι διαστολὴν καὶ συστολὴν ἐν πάσαις ταῖς ἀρτηρίαις ἅμα γιγνομένην· ὁ δὲ Ἐρυθραῖος Ἡρακλείδης ἔφη διάστασιν καὶ συστολὴν ἀρτηριῶν καὶ καρδίας ὑπὸ ζωτικῆς δυνάμεως πλειστοδυναμούσης ἐπιτελουμένην. Ἀθήναιος δὲ οὕτω· σφυγμὸν εἶπεν εἶναι διαπνοὴν φανερὰν πρὸς αἴσθησιν ὅσον ἐφ’ ἑαυτῇ καρδίας καὶ ἀρτηριῶν· Ἀσκληπιάδης δὲ ἐν τῷ Περὶ ἀναπνοῆς αὐτοῦ συντάγματι ὡρίσατο τὸν σφυγμὸν διαστολὴν καὶ συστολὴν καρδίας καὶ ἀρτηριῶν. ἡμῖν δὲ ἄριστος εἶναι δοκεῖ ὅρος σφυγμοῦ ὁ καὶ παρὰ Ἀρχιγένει κείμενος· ἔστι δέ· διαστολὴ καὶ συστολὴ καρδίας καὶ ἀρτηριῶν φυσική. διαστολὴ μὲν οὖν καὶ συστολὴ εἴρηται, ἐπειδὴ τοῦτο θεωροῦμεν γιγνόμενον κατὰ τὸν σφυγμόν, καρδίας τε καὶ ἀρτηριῶν πρόσκειται, ἐπειδὴ μόνων τούτων ὁρῶμεν διαστολὴν γιγνομένην· ἡ γὰρ μῆνιγξ ἡ περὶ τὸν ἐγκέφαλον εἴπερ καὶ σφύζει, ἀπὸ τῶν ἀρτηριῶν ἡ καταρχὴ γίγνεται αὐτῇ, αἵ τε φλέβες αἱ ἐν ταῖς νόσοις σφύζουσαι οὐ κατὰ φύσιν ἔχοντος τοῦ σώματος τοῦτο πάσχουσιν· διὰ τοῦτο οὖν πρόσκειται τῷ ὅρῳ τὸ κατὰ φύσιν, ἵνα τὰς τοιαύτας ὑπεκφύγωμεν ἐπηρείας. Τῷ δὲ σφυγμῷ αἳ λέγονται παρέπεσθαι ποιότητες αἱ κοινόταται ἐπὶ πάντων θεωρούμεναι αἵδε· μέγεθος, σφοδρότης, ἀμυδρότης, τάχος, πυκνότης, πληρότης, τάξις, ὁμαλότης, ῥυθμός· ἅπασαι γὰρ αἱ τοιαῦται διαφοραὶ εἰς ταύτας ὑπαχθήσονται. τοῦ οὖν μεγέθους τοῦ κατὰ τὸν σφυγμὸν ὡς ἐν πλάτει τρεῖς εἰσι διαφοραί· ὅ τε μέγας σφυγμὸς καλούμενος καὶ ὁ μικρὸς καὶ ὁ μέσος. μέγας μὲν οὖν ἐστι σφυγμὸς ὁ διάστασιν ἔχων γιγνομένην, μικρὸς δὲ ὁ ὑπεναντίος τούτῳ, μέσος δὲ ὁ μεταξὺ τούτων. ἡ δὲ σφοδρότης ἡ ἐν τῷ σφυγμῷ τάττεται μὲν ἐπὶ τῆς κατὰ τὴν ἔξωσιν βίας, ὁπόταν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τύχῃ τοιαύτη τις οὖσα. ὥσπερ οὖν κἀν τοῖς ἄλλοις κινουμένοις ἡ σφοδρότης ἐπὶ τῆς ἑκάστου βίας τίθεται, οὕτως ἔχει καὶ ἐπὶ τῆς κινήσεως τῶν ἀρτηριῶν.

τῆς δὲ σφοδρότητος καὶ αὐτῆς ὡς ἐν πλάτει τρεῖς εἰσι διαφοραί· ὅ τε σφοδρὸς σφυγμὸς καλούμενος καὶ ὁ ἀμυδρὸς καὶ ὁ μέσος· σφοδρὸς μὲν οὖν ἐστι σφυγμὸς ὁ βιαίαν τὴν ἄπωσιν τῆς ἁφῆς ποιούμενος, ἀμυδρὸς δὲ ὁ ἐκ τῶν ἐναντίων ἀσθενής, μέσος δὲ ὁ μεταξὺ τούτων. ἡ δὲ πληρότης τάττεται μὲν ἐπὶ τοῦ ποσοῦ τῆς ὕλης ὑπαρχούσης ἐν ταῖς ἀρτηρίαις. διαφοραὶ δέ εἰσι καὶ ταύτης ὡς ἐν πλάτει τρεῖς, ὅ τε πλήρης σφυγμὸς καλούμενος καὶ ὁ κενὸς καὶ ὁ μέσος. πλήρης μὲν οὖν ἐστι σφυγμὸς ὁ διατιθεὶς τὴν αἴσθησιν οὕτως ὡς ἱκανῶς ἔνδοθεν ἐμπεπλησμένης τῆς ἀρτηρίας, κενὸς δὲ ὁ ἐναντίος τούτῳ, μέσος δὲ ὁ μεταξὺ τούτων. καὶ ὁ μὲν πλήρης γίνεται ὑπὸ ἀδδηφαγιῶν τε καὶ τὸ σύμπαν εἰπεῖν ὑπὸ τῆς ἁδροτέρας διαίτης, ὁ δὲ κενὸς ὑπὸ ἐνδείας καὶ κενώσεως τοιοῦτος γίνεται, ὁ δὲ μέσος ὑπὸ τῆς μεταξὺ διαίτης. Τίς ὁ τρόπος ἐπαφῆς σφυγμοῦ. Πολλῶν καὶ ποικίλων γινομένων πταισμάτων διὰ τὴν ἀπειρίαν τῶν μὴ δυναμένων σημειοῦσθαι διὰ τῆς ἐπαφῆς τὴν προσοῦσαν τοῖς σφυγμοῖς ἀκρίβειαν οὐκ ἀνεξέταστον οὐδὲ τοῦτο ἐσκεμμένοι παρελίπομεν. καὶ γὰρ πάνυ τινὲς ἐν ὑπολήψει τυγχάνοντες τῶν ἰατρῶν οὐκ ἐπιβάλλοντες ὃν δεῖ τρόπον τὴν ἁφὴν τῇ κινήσει τῆς ἀρτηρίας, οὐχὶ τὸν παρὰ φύσιν σφυγμὸν οὐκ ἔγνωσαν, ἀλλὰ καὶ τὸν κατὰ φύσιν οἴονται παρὰ φύσιν ἔχειν καὶ ὀλέθριον μὲν τὸν ἀκίνδυνον εἶναι, τὸν δὲ πονηρὸν σωτήριον, καθόλου πλανώμενοι περὶ τὴν σημείωσιν ἐκ τῆς μὴ δεόντως γιγνομένης ἐπαφῆς. διὰ δὴ ταῦτα ἀναγκαῖον ἐστὶν ἀκριβῆ τὴν ἐπέρεισιν τῆς ἁφῆς ποιεῖσθαι. εἰσελθόντα τοίνυν πρὸς τὸν ἄρρωστον δέον ἐστὶν οὐκ εὐθὺς ἐπιβάλλειν τὴν χεῖρα τοῖς σφυγμοῖς. πρῶτον μὲν γὰρ ἀπρεπὲς καὶ ὑπάγροικον εἶναι νομιστέον ἐπιστάντα τῷ νοσοῦντι τὸν ἰατρὸν ἅπτεσθαι παραχρῆμα τῶν σφυγμῶν. δεύτερον δὲ διὰ σπουδῆς ἐληλυθότα πρὸς τὸν ἄρρωστον, οἷα συμβαίνειν εἴωθεν, εἰκός ἐστιν ἔτι καὶ τῷ πνεύματι τεταραγμένῳ καὶ μετεώρῳ τυγχάνοντι προσπελάζειν τὴν ἁφήν. πρὸς δὲ τούτῳ αὐτὸς ὁ τοῦ κάμνοντος σφυγμὸς τροπήν τινα καὶ ἀλλοίωσιν ὡς ἐπὶ τὸ πλεῖστον ἀναδέχεται πρὸς τὴν εἴσοδον τοῦ ἰατρεύοντος, ἤτοι γεγηθότος δι’ ἐλπίδος ταχείας ἀναρρώσεως καὶ μάλιστα εἰ πολλὴν ὁ ἰατρὸς ἕξιν ἔχει ἢ δεδοικότος δι’ ἀπώλειαν ἀκούσεσθαί τι φαῦλον παρὰ τοῦ ἰατροῦ. καὶ αἰδὼς δὲ καὶ ἔκπληξις ἀλλοιοῦσθαι ποιεῖ τὸν σφυγμὸν τοῦ νοσοῦντος πρὸς τὴν εἴσοδον, σεμνοτέρου τε καὶ ἀξιοπρεποῦς ὄντος τοῦ ἰατρεύοντος πρὸς παῖδας εἰσιόντος ἢ παρθένους ἢ γυναῖκας οὐκ εἰθισμένας ὁρᾶσθαι πρότερον ἢ καὶ ἰδιωτικὸν βίον ἐπανῃρημένας. τούτων οὖν ἕνεκα καὶ τῶν τούτοις ὁμοίων οὐ χρὴ πρὸς τὴν πρώτην εἴσοδον εὐθὺς παραχρῆμα ἅπτεσθαι τῶν σφυγμῶν, πυνθανόμενον δὲ περὶ τοῦ νοσήματος, μάλιστα μὲν παρ’ αὐτοῦ τοῦ κάμνοντος, ἂν εὐσταθῆ τύχῃ τὸν λογισμὸν ἔχων, ἢ καὶ παρὰ τῶν οἰκείων· οἷον ἀπὸ ποίας προφάσεως ἡ νόσος ἤρξατο, καὶ περὶ πλήθους ἡμερῶν καὶ περὶ τῶν ἐν τῇ νόσῳ παροξυσμῶν τε καὶ ἀνέσεων, καὶ εἴ τινες ἐκκρίσεις ἐγένοντο· συμβάλλεται γὰρ καὶ ταῦτα πολύ τι πρὸς τὴν ἀκριβῆ σημείωσιν. καὶ ὁ σφυγμὸς τελείως ἀποκαθίσταται, κινηθησόμενος μόνον κατ’ αὐτὸ τὸ πάθος. χρὴ δὲ ἐφ’ ἑκατέρας τὰς χεῖρας ἐπιβάλλειν τὴν δεξιάν, ἵν’ εἰ καὶ ἑτερόσφυκτος ὁ κάμνων εἴη, καταλαμβάνηται, ἐν ἐγγωνίῳ δὲ τῷ σχήματι τῆς χειρὸς ἅπτεσθαι καὶ ἐπικειμένης, μήτε αἰωρουμένης—γίνεται γὰρ καὶ παρὰ ταῦτα τροπή τις τοῦ σφυγμοῦ —μήτε περιλαμβάνοντα σύμπαντα τὸν καρπόν—ἐργατῶδες γάρ— ἀλλ’ ἔνθα διασημαίνει τὸ κίνημα τῆς ἀρτηρίας· οὔτε μὴν ἑνὶ δακτύλῳ ποιεῖσθαι τὴν ἐπαφήν, ὥσπερ ἔνιοι ποιοῦσι δι’ ἀλαζονείαν ἕξεως, τοῖς δὲ τέτρασιν ἢ τοῖς τρισὶ δακτύλοις, ὅπως ἐκ πολλῆς τῆς ἐπερείσεως καὶ κατὰ πολλὰ μέρη γινομένης καταλαμβάνηται τῆς ἀρτηρίας ἡ κίνησις.

δεῖ δὲ μήτε κούφως ἐφάπτεσθαι μήτε λίαν πιέζοντα[ς] τὴν ἀρτηρίαν, μέσην δὲ ποιούμενον τὴν ἐπέρεισιν. οὕτω γὰρ ἂν ἡ ἀντίληψις τῆς κινήσεως γίγνοιτ’ ἂν ἀκριβής, τά τε μεγέθη καὶ τὰς σφοδρότητας ταχυτῆτας τε καὶ βραδυτῆτας καὶ τὰς ἄλλας τὰς κατὰ τὸν σφυγμὸν συμφωνίας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιθεωρεῖν ἔξεστι τοῖς ἐφαπτομένοις. καὶ τοῦτο δὲ παραφυλακτέον, τὸ μὴ εὐθέως κουφίζειν τὴν ἁφὴν ἀπὸ τοῦ σφυγμοῦ, οἷον μετὰ μίαν ἢ δευτέραν πληγήν, ἀλλὰ πλείονας, οἷον μετὰ δέκα ἢ δυοκαίδεκα, καὶ μάλιστα ἐφ’ ὧν νοσημάτων ὑποπτεύεται κακοήθειά τις εἶναι περὶ τοὺς σφυγμούς· ὡς ὅσοι γε μετὰ μίαν ἢ δευτέραν πληγὴν ἀφίστανται τῆς ἐπαφῆς, ἄσκησιν καὶ συγγυμνασίαν ἐπιδεικνύμενοι τοῖς ἰδιώταις, οὗτοι πταίουσι περὶ τὰς καταλήψεις ἀδήλου τυγχάνοντος, εἰ μεθ’ ἣν ἥψατό τις διαστολήν, σῴζει τὴν αὐτὴν διάστασιν ὁ σφυγμὸς ἢ μεταβέβληκε, καὶ μάλιστα τῶν ἀνωμάλων καὶ ἀτάκτων οὐχ ὑποπιπτόντων πρὸς τὴν πρώτην τῆς ἁφῆς ἐπέρεισιν, ἀλλ’ ὕστερον, καὶ τῶν διαλειπόντων καὶ τῶν παλινδρομούντων, ὡς παραστήσομεν. χρὴ οὖν χρόνια ἐφάπτεσθαι, ἵνα καὶ ταῦτα καὶ τὰ λοιπὰ τῶν περὶ τὸν σφυγμὸν ἰδιωμάτων καταλάβωμεν καὶ οὕτως αἵ τε σημειώσεις προκόπτωσιν καὶ ἀσφαλεῖς τοῖς πάθεσιν ἐξ αὐτῆς τῆς διὰ τῶν σφυγμῶν σημειώσεως ὑπαγορευόμεναι τοῖς μεμαθηκόσι. Τίνι διαφέρει ταχυτὴς πυκνότητος. Περὶ δὲ ταχυτῆτος καὶ πυκνότητος ζητεῖται εἰ διαφέρουσιν ἀλλήλων αἱ ποιότητες. καὶ ἔνιοι μὲν οὐκ οἴονται διαφέρειν ἀλλήλων ἢ μόνῃ τῇ φωνῇ· ἡμῖν δὲ παμπόλλη ὅση εἶναι ἐν αὐτοῖς διαφορὰ ἢ πυκνὸν εἶναι τὸν σφυγμὸν ἢ ταχὺν ἢ ἐκ τῶν ἐναντίων ἀραιὸν καὶ βραδύν. τὸ δὲ πᾶν οὕτω σαφηνισθήσεται. τοῦ σφυγμοῦ τὰ πρῶτα μέρη λέγομεν εἶναι δύο, διαστολὴν καὶ συστολήν. καὶ τούτων ἑκάτερον διανέμεται διχῇ· ἡ μὲν διαστολὴ εἰς τὸ διαστέλλεσθαί τε καὶ συνεστάλθαι. διαστέλλεσθαι μὲν οὖν εἶναι λέγομεν τὸ πρὸς τὸ ἐκτὸς χωρεῖν τὴν ἀρτηρίαν, διεστάλθαι δὲ τὸ πρὸς τὸ ἐκτὸς ἀφικνουμένην τὴν ἀρτηρίαν ἐπιμένειν χρόνον τινὰ ἀκίνητον· καλοῦμεν δὲ τοῦτο ἐπηρέμησιν. συστέλλεσθαι δὲ εἶναί φαμεν τὸ πρὸς τὸ ἔνδον ἀναχωρεῖν τὴν ἀρτηρίαν, συνεστάλθαι δὲ τὸ ἀφικνουμένην εἰς τὸ ἔνδον ἐπιμένειν χρόνον τινά. καλεῖται δὲ καὶ τοῦτο ἐπηρέμησις. τεσσάρων οὖν μερῶν τοῦ σφυγμοῦ θεωρουμένων τὰ μὲν δύο κινήσεις εἰσὶ, τὰ δὲ δύο ἐπηρεμήσεις. γίνονται τοίνυν ἡ μὲν ταχυτὴς καὶ ἡ βραδυτὴς τῶν κινήσεων ὀνόματα, ἡ δὲ πυκνότης καὶ ἀραιότης τῶν ἐπηρεμήσεων· ὁ μὲν γὰρ κινούμενος σφυγμὸς ὀλιγοχρονιώτερον ταχὺς καλεῖται, ὁ δὲ πολυχρονιώτερον βραδύς, ὁ δὲ ἀναπαυόμενος ὀλίγιστον χρόνον πυκνός· ὁ δὲ ἐπηρεμῶν πλείονα χρόνον ἀραιός. σαφὴς δ’ ἂν καὶ οὕτως ὁ λόγος γένοιτο. ὥσπερ γὰρ λέγεται βαδίζειν τις εἰς ἀγρὸν ταχέως καὶ βραδέως καὶ ἄλλος πυκνῶς καὶ ἀραιῶς, οὐ κατὰ τῆς αὐτῆς σημασίας τιθεμένων τῶν ὀνομάτων ἀλλὰ κατὰ διαφόρου[ς], ταχέως μέν τινα τὴν ὁδὸν ἀνύειν τὴν ἀπὸ τῆς πόλεως εἰς αὐτὸ τὸ χωρίον, ἀραιῶς δὲ εἰς τὸ χωρίον ἀπιέναι, καὶ πάλιν πυκνῶς μέν τινα πορεύεσθαι ὀλίγα τὰ μεταξὺ τῶν ἡμερῶν διαστήματα ποιούμενον, βραδέως δὲ τὴν αὐτὴν ὁδὸν ἀνύειν· παραπλησίως δὲ καὶ ἐπὶ τῶν σφυγμῶν τὸ τοιοῦτον ὑποπίπτει γιγνόμενον. ἔστιν οὖν σφυγμὸς ταχὺς καὶ πυκνὸς ὁ καὶ τὴν κίνησιν ἔχων ταχεῖαν καὶ τὴν ἐπηρέμησιν ὀλιγίστην, ἢ ταχὺς καὶ ἀραιὸς ὁ τὴν μὲν κίνησιν διασῴζων ὁμοίαν, τὸ δὲ διάλειμμα χρονιώτερον ἔχων, ἢ ἐκ τῶν ἐναντίων βραδὺς καὶ πυκνὸς ὁ τὸ μὲν διάλειμμα ὀλίγον κεκτημένος, τὴν δὲ κίνησιν πολυχρονιωτέραν ποιούμενος, ἢ βραδὺς καὶ ἀραιὸς ὁ καὶ κινούμενος βραδέως καὶ ἐπηρεμῶν χρόνον πλείονα. [205]

(200) Περὶ ὁμαλότητος καὶ ἀνωμάλου. Ὁμαλόν τε καὶ τεταγμένον σφυγμὸν καὶ ἀνώμαλον καὶ ἄτακτον ἔνιοι μὲν οὐκ οἴονται διαφέρειν ἀλλήλων, οὐ μὴν ὀρθῶς γε φρονοῦντες. φαίνεται γὰρ ἐν τούτοις παμπόλλη τις εἶναι διαφορά. τάττεται γὰρ ὁ μὲν ὁμαλὸς σφυγμὸς ἐπὶ τοῦ ἴσας ἔχοντος τὰς κινήσεις, ὁ δ’ ἀνώμαλος ἐπὶ τοῦ ἀνίσους. ὥσπερ γὰρ ὁμαλὲς εἶναι ἔδαφος λέγεται τὸ ἴσον καὶ ἐκ τῶν ἐναντίων ἀνώμαλον καὶ ἄνισον, οὕτως ἔχει καὶ ἐπὶ τοῦ σφυγμοῦ. ὁ μὲν οὖν ὁμαλὸς σφυγμὸς πάντως καὶ τεταγμένος ἐστίν, ὅτι οὐ[τε] μόνον ἴσος ὑπάρχει ταῖς πληγαῖς, ἀλλὰ καὶ ἔν τινι ἀναλογίᾳ θεωρεῖται. ὁ δὲ τεταγμένος οὐ πάντως καὶ ὁμαλός· ἐνδέχεται γὰρ αὐτὸν καίτοι ἀναλόγους ἔχοντα τὰς πληγὰς ὅμως μὴ ἴσον εἶναι. ὁ γοῦν παρὰ μίαν γιγνόμενος νυνὶ μὲν μείζων ἐλάττων δὲ αὖθις τεταγμένος ἐστίν, οὐ μὴν καὶ ὁμαλός. τῶν δὲ τεταγμένων καὶ τῶν ἀτάκτων καὶ τῶν ὁμαλῶν καὶ τῶν ἀνωμάλων οἳ μὲν κατὰ μίαν διαφοράν εἰσι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοιοῦτοι, οἳ δὲ κατὰ δύο, οἳ δὲ κατὰ πλείονας, κατὰ μίαν, εἰ οὕτω τύχοι, σφοδρότητα λαμβάνοντος τοῦ σφυγμοῦ καὶ οὕτως ἀνωμάλου ἢ ἀτάκτου γινομένου. Τίς ὁ τοῦ πυρέσσοντος σφυγμός. Οὕτω δυσστόχαστόν ἐστι καὶ δυσκατάληπτον τὸ πυρεκτικὸν πάθος, ὥστε οὐ μόνον οἱ ἰατροὶ περὶ τῆς αἰτίας αὐτοῦ διεφώνησαν ἀδήλου τυγχανούσης, ἀλλὰ καὶ περὶ τῆς σημειώσεως τῆς τε ἄλλης καὶ τῆς διὰ τοῦ σφυγμοῦ γινομένης καίτοι προδηλωτέρας ὑπαρχούσης. οἳ μὲν γὰρ πυκνὸν τὸν σφυγμὸν τοῦ πυρέσσοντος λέγουσι πάνυ προσαναπαυόμενοι τῷ σημείῳ τῷ κατὰ τὴν πύκνωσιν. ἔνιοι δὲ καὶ σφοδρὸν εἶπον γίνεσθαι τὸν σφυγμόν· οἳ δὲ μείζονα τοῦ κατὰ φύσιν ἐπὶ τοῦ πυρέσσοντος εὑρίσκεσθαι· ἄλλοι δέ τινες ταχὺν εἶπον εἶναι τὸν σφυγμὸν ἐπὶ τῶν πυρεσσόντων. τίνι διαφέρει ταχύτης πυκνότητος, ἐν τοῖς ἔμπροσθεν εἴπομεν, διδασκαλίας δὲ ἕνεκα ἀκριβοῦς μνημονεύσομεν τῶν παλαιῶν, ὅπως ἕκαστος αὐτῶν ἠνέχθη περὶ τοῦ σφυγμοῦ τοῦ κατὰ τὸν πυρετόν. Τίς ἡ Χρυσίππου στάσις 〈περὶ〉 τοῦ σφυγμοῦ τοῦ κατὰ τὸν πυρετόν. Χρύσιππος διὰ τοῦ σφυγμοῦ σημειούμενος τὸν πυρετὸν πυκνότερον ἀπεφήνατο γίνεσθαι. τοῦ κατὰ φύσιν σφυγμοῦ, ὥς φησιν Ἐρασίστρατος, καὶ κριτήριον τῆς πυκνότητος ὑπετίθετο τὸν διατείνοντα μέχρι τεσσάρων ἀριθμῶν ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων. πυκνοτέρας μὲν γὰρ γινομένης τῆς κινήσεως τῶν ἀρτηριῶν καὶ ἓν ἀπὸ τῶν ἀριθμῶν ἢ δεύτερον ἐκθλίβεσθαι, πρὸ τοῦ ἀριθμῆσαι τὰ τέσσαρα φθανούσης τῆς ἀρτηρίας πάλιν διαστέλλεσθαι, πυρετοῦ σημεῖον ᾤετο τοῦτο τυγχάνειν. Τίς ἡ Ἐρασιστράτου στάσις περὶ τοῦ σφυγμοῦ τῶν πυρεσσόντων. Καὶ αὐτὸς δὲ Ἐρασίστρατος ἀεὶ παρεπόμενον οἴεται τῷ πυρετῷ τυγχάνειν, κἂν μὴ παρῇ πλῆθος θερμασίας, ὡς ἐν τοῖς Περὶ πυρετῶν φησὶν 〈..〉 οὕτως· [ὡς] „τοῖς πυρέσσουσιν ἡ κίνησις πυκνοτέρα μὲν γίνεται πᾶσι, σφοδροτέρα δὲ τοῖς πλείστοισ“. ταύτην δὲ τὴν πυκνότητα ἰδίωμα σῴζειν λέγει ὡς ἐπὶ φλεγμονῇ τετραμμένη〈ν〉. καὶ λόγῳ μὲν ἀνεξέταστον καὶ ἀνερμήνευτον, ὑπὸ δὲ τῆς τριβικῆς γυμνασίας διὰ τῆς ἁφῆς καταλαμβάνεται. παραθήσομεν δὲ καὶ αὐτοῦ λέξιν Ἐρασιστράτου τοῦτον ἔχουσαν τὸν τρόπον· „μόνη δ’ ἡ περὶ τῇ κινήσει διάθεσις τῶν πυρεσσόντων εὐσύνοπτος καὶ ἀκριβὴς τῷ γε ἕξιν ἔχοντι καὶ οὐ διαψευδομένῳ, ἀλλ’ αὐτήν τε 〈τὴν〉 τῆς φλεγμονῆς ἐπίτασιν καὶ ἄνεσιν καὶ τὴν περὶ ὅλον τὸ σῶμα διάθεσιν ἱκανῶς διασημαίνει.

“ Τίς ἡ Ἡροφίλου στάσις περὶ τοῦ σφυγμοῦ τῶν πυρεσσόντων. Ὁ δὲ Ἡρόφιλος πυρέσσειν ἀπεφήνατο τὸν ἄνθρωπον, ὁπόταν πυκνότερος καὶ μείζων καὶ σφοδρότερος ὁ σφυγμὸς γένηται μετὰ πολλῆς θερμασίας ἔνδον, εἰ μὲν οὖν προαπαλλάξειε τὴν σφοδρότητα καὶ τὸ μέγεθος, ἔνδοσιν τοῦ πυρετοῦ λαμβάνοντος· τὴν δὲ πυκνότητα τῶν σφυγμῶν ἀρχομένων τε τῶν πυρετῶν πρώτην συνίστασθαι καὶ συμπαραμένειν μέχρι τῆς τελείας αὐτῶν λύσεως λέγει. οὕτω δὲ τῇ πυκνοσφυξίᾳ τὸν Ἡρόφιλον θαρρεῖν λόγος ὡς βεβαίῳ σημείῳ χρώμενον, ὥστε κλεψύδραν κατασκευάσαι χωρητικὴν ἀριθμοῦ ῥητοῦ τῶν κατὰ φύσιν σφυγμῶν ἑκάστης ἡλικίας εἰσιόντα τε πρὸς τὸν ἄρρωστον καὶ τιθέντα τὴν κλεψύδραν ἅπτεσθαι τοῦ πυρέσσοντος· ὅσῳ δ’ ἂν πλείονες παρέλθοιεν κινήσεις τῷ σφυγμῷ παρὰ τὸ κατὰ φύσιν εἰς τὴν ἐκπλήρωσιν τῆς κλεψύδρας, τοσούτῳ καὶ τὸν σφυγμὸν πυκνότερον ἀποφαίνειν, τουτέστι πυρέσσειν ἢ μᾶλλον ἢ ἧττον. Τίς ἡ Ἀσκληπιάδου στάσις περὶ τοῦ σφυγμοῦ τῶν πυρεσσόντων. Ἀσκληπιάδης τῆς ἐναντίας γνώμης τοῖς προειρημένοις ἀνδράσι καθίσταται. τὴν γὰρ ἐπὶ τὸ σφοδρότερον τοῦ σφυγμοῦ παραλλαγὴν μετὰ θερμασίας τίθεται τοῦ πυρετοῦ σημεῖον χωρὶς φανερᾶς αἰτίας συνισταμένην. καὶ γὰρ πυκνότητα τῶν σφυγμῶν τοῖς πλείστοις παρέπεσθαί φησι τῶν πυρεσσόντων, οὐ πάντως δὲ πυρέσσειν τοὺς πυκνὸν ἔχοντας τὸν σφυγμόν. Τίς ἡ Ἱπποκράτους στάσις περὶ τοῦ πυρετοῦ. Ἱπποκράτην ὑπολαμβάνουσι σημεῖον εἰρηκέναι τοῦ πυρετοῦ μέγεθος μετὰ πυκνότητος ἢ τάχους διὰ τὴν ἐν Ἐπιδημίαις λέξιν οὕτως εἰρημένην ὑπ’ αὐτοῦ· „ἐν τοῖσιν ὀξυτάτοισι τῶν πυρετῶν οἱ σφυγμοὶ πυκνοὶ καὶ μέγιστοι.“ οὕτω μὲν δὴ εἰρήσθω καὶ τὸ παρ’ Ἱπποκράτει δοκοῦν εἶναι σημεῖον τοῦ πυρετοῦ. Τί σημεῖον Ἀρχιγένης τίθεται τοῦ πυρετοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σκληρὸν ὑπέλαβεν οὗτος ὁ ἀνὴρ εἶναι ἴδιον καὶ ἀχώριστον σημεῖον ὡς ἐν τῷ Περὶ σφυγμῶν βιβλίῳ. Πραξαγόρας δὲ μέγαν, ταχύν, σφοδρὸν τὸν σφυγμὸν εἶναι ἐπὶ τῶν πυρεσσόντων μετὰ τοιούτων συμπτωμάτων εὑρισκόμενον, δίψους τε καὶ θέρμης καὶ κεφαλαλγίας καὶ συμπλοκῆς μετὰ τῶν προειρημένων ποιοτήτων ἰδιότητας ἡ μείωσις τοῦ πυρετοῦ ἐργάσασθαι προειρημένω. Τίς ὁ τοῦ φρενητίζοντος σφυγμός. Ὁ τοῦ φρενητικοῦ σφυγμὸς ταχὺς μέν ἐστι καὶ πυκνὸς καὶ ἄτακτος, καὶ τὰ μὲν πολλὰ μικρός, ἔστι δ’ ὅτε καὶ μέγεθος ἔχων. ἐνίοις δὲ καὶ ὑποτρέμειν δοκεῖ. καὶ ἔστιν ὅτε τελέως συμπεσοῦσα ἡ ἀρτηρία ἐπανίσταται ἀθρόως πάλιν. καὶ τισὶ μὲν ὑποστολὴν μόνην εἶναι τῆς ἀρτηρίας, ἄλλοις δ’ αὖ καθελκυσμόν. μεταβάλλει δὲ ὁ τοιοῦτος τάχιστα εἰς μυρμηκίζοντα. Τίς ὁ τοῦ ληθαργικοῦ σφυγμός. Τῶν δὲ ληθαργικῶν ὁ σφυγμός, ὅταν βαθεῖα καταφορὰ ᾖ, μέγας ἐστὶ καὶ ἀραιὸς καὶ οἷον ὑπόσομφος, τὴν ἐν τῇ πληγῇ σφοδρότητα οὐκ ἔχων—δοκεῖ μὲν γὰρ ἡ ἀρτηρία 〈μετὰ〉 ῥοίζου τινὸς καὶ τόνου τῇ ἁφῇ προσπίπτειν, οὐ συνέπεται δ’ αὐτῇ τὸ καὶ πλήσσειν ἑαυτόν—ὡς βραδὺς δὲ καὶ νωθὴς κατὰ τὴν διαστολὴν καὶ τὴν συστολὴν διὰ πολλοῦ τοῦ χρόνου πρὸς τὴν κίνησιν ἐπανιών.

Τίς ὁ πλευριτικοῦ σφυγμός. Πλευριτικοῦ σφυγμὸς κατ’ ἀρχὰς τῷ μὲν μεγέθει σύμμετρος ταχύς τε καὶ πυκνὸς καὶ τὴν πληγὴν στερεὰν ἔχων, παρεμφαίνων δέ τι καὶ τοῦ κατὰ τὴν σκληρίαν ἰδιώματος· ἔστι δ’ ὅτε καὶ ἀνώμαλος καὶ ἄτακτος γίνεται. ἐπιτεινομένου δὲ τοῦ πάθους μικρὸς γίνεται καὶ ἀμυδρὸς καὶ ταχὺς μᾶλλον ἤπερ πυκνός. Τίς ὁ περιπνευμονικοῦ σφυγμός. Βραδύς, ἀραιός, ὑπόσομφος, ἀνώμαλος, ἄτακτος· ἐπιτεινομένου δὲ τοῦ πάθους καὶ ὀξείας τῆς ἀναπνοῆς γινομένης εἰκότως ὁ σφυγμὸς κατασμικρύνεται ὡς ἂν τοῦ πνεύματος βεβιασμένως διοδεύοντος, ἀμυδρὸς δὲ καὶ πυκνὸς καὶ ταχὺς τότε ἀποτελεῖται. Τίς ὁ καρδιακοῦ σφυγμός. Μικρὸς 〈ὁ〉 σφυγμὸς ἐπ’ αὐτῶν καὶ πυκνὸς καὶ ἀσθενὴς καὶ ὑγρὸς τρομώδης τε καὶ ἀνώμαλος καὶ ἄτακτος. Τίς ὁ τοῦ στομαχικοῦ σφυγμός. Ἐγγύτατα δοκεῖ τοῦ καρδιακοῦ τυγχάνειν· καὶ γὰρ τοῖς ἄλλοις σημείοις δυσδιάκριτοί εἰσιν ὅ τε καρδιακὸς καὶ ὁ στομαχικός· ἔχει μέντοι γε πολλὴν διαφοράν. ὁ μὲν γὰρ τῶν καρδιακῶν σφυγμός ἐστιν ὁποῖος εἴρηται, ὁ δὲ τῶν στομαχικῶν ἁπλούστερος καὶ βραδύτερος καὶ ἀραιότερος συγκρινόμενος πρὸς τὸν τῶν καρδιακῶν σφυγμόν. Τίς ὁ χολερικοῦ σφυγμός. Μικρός, ἀμυδρός, πυκνός, ταχύς. τοιοῦτος δέ ἐστι καὶ ὁ τῶν ὑπὸ διαρροίας ἐνοχλουμένων. Τίς ὁ συναγχικοῦ σφυγμός. Τοῦ μεγέθους χάριν καὶ τῆς σφοδρότητος μέσος, πλὴν ἐμφαίνων τι καὶ ὑπόσομφον, ἐπιτεινομένου δὲ τοῦ πάθους μικρός ποτε καὶ ἀμυδρός. Τίς ὁ ἀποπληκτικοῦ σφυγμός. Μέγας καὶ σφοδρὸς καὶ ταχύς. Τίς ὁ τετανικοῦ σφυγμός. Μέγας μὲν συμμέτρως, σφοδρὸς δὲ καὶ σκληρὸς διατεταμένης τῆς ἀρτηρίας οἷον χορδῆς. Τίνες οἱ καθ’ ἑκάστην ἡλικίαν κατὰ φύσιν σφυγμοί. Παρέπεται τοῖς νηπίοις κατὰ φύσιν σφυγμὸς ταχύς τε καὶ πυκνὸς ἢ μικρὸς καὶ ἀμυδρός· ἔτι τε ἴση ἡ διαστολὴ καὶ ἡ συστολὴ ἐπ’ αὐτῶν εὑρίσκεται. τοῖς δὲ ἐν αὐξήσει ἤδη γινομένοις πᾶσι τῷ μεγέθει καὶ τῇ σφοδρότητι ἐπιδεδωκὼς εὑρίσκεται ὁ σφυγμὸς καὶ ποσῶς βραδύτερος καὶ ἀραιότερος παρὰ 〈τὸν〉 τῶν νηπίων, τοῖς δὲ μειρακίοις καὶ τοῖς συνεγγίζουσι τῇ ἀκμῇ μείζων πολὺ καὶ σφοδρότερος βραδύτερός τε καὶ ἀραιότερος, τοῖς δὲ ἐν αὐτῇ τῇ ἀκμῇ τυγχάνουσι μέγιστος πάνυ καὶ σφοδρότατος καὶ βραδύτατος καὶ ἀραιότατος καὶ κατὰ πολὺ προέχων τῶν πρώτων ἡλικιῶν. τοῖς δὲ ἀπὸ τῆς ἀκμῆς πρὸς τὸ γῆρας ἀποκλίνουσιν ἤδη διάφορος γίνεται ὁ σφυγμός· τοῖς μὲν γὰρ μικρὸν μετὰ τὴν ἀκμὴν προ[σ]ελθοῦσι τῷ μεγέθει καὶ τῇ σφοδρότητι παραπλήσιός ἐστι σφυγμῷ τῷ τῶν ἐγγιζόντων τῇ ἀκμῇ καὶ τοῖς χρονικοῖς διαστήμασιν ὁ αὐτὸς τῷ τῶν ἀκμαζόντων, πλὴν ἐπ’ ὀλίγον δια〈λ〉λάττων βραδύτερος καὶ ἀραιότερος γεγονώς. τοῖς δὲ πρεσβύταις ἤδη τῷ μεγέθει καὶ τῇ σφοδρότητι ἠλαττωμένος καὶ τοῖς χρονικοῖς διαστήμασιν ηὐξημένος, βραδύτερος καὶ ἀραιότερος γεγονώς, τοῖς δὲ γηραιοῖς παρέπεται σφυγμὸς μικρότητος μὲν χάριν καὶ ἀμυδρότητος παραπλήσιος τῷ τῶν νηπίων, τάχει δὲ πλεῖστον λειπόμενος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπὶ μὲν γὰρ τῶν νηπίων οἱ ταχύτατοι καὶ πυκνότατοι, ἐπὶ δὲ τῶν γηραιῶν βραδύτατοι καὶ ἀραιότατοι. καὶ εἰς τοσαύτας μὲν δὴ ἡλικίας τέμνουσιν ἐπ' ἀκριβὲς τὸν σφυγμόν· τινὲς δὲ οὐκ εἰς τοσαύτας, ἀλλ' εἰς τέσσαρας, εἰς παῖδα, μειράκιον, ἀκμάζοντα, γέροντα· ἡμεῖς δὲ πρὸς τὸ ἐπιμελέστερον καὶ διδασκαλικώτερον ἀφορῶντες οὐκ εἰς τέσσαρας, ἀλλ' εἰς ἑπτά, καθὰ καὶ Ἱπποκράτης ἐν τῷ Περὶ ἑβδομάδων φρονεῖ καὶ οἱ Ἀρχιγένειοι, τέμνοντες τάς τε ἡλικίας καὶ τὸν σφυγμόν, ὡς εἶναι νήπιον καὶ παῖδα 〈καὶ〉 μειράκιον καὶ ἀκμάζοντα καὶ γέροντα καὶ πρεσβύτην καὶ γηραιόν. Τίς ὑφ' ἑκάστης ὥρας τοῦ ἔτους ἀποτελεῖται σφυγμός. Ὥρα θερινὴ ἑκάστης ἡλικίας ἀλλάττει τὸν σφυγμὸν καὶ παρέχει μικρότερον, ἀτονώτερον ταχύτερόν τε καὶ πυκνότερον. καὶ τί γὰρ ἢ σύμφωνον νηπίου τῇ ἡλικίᾳ ἀποδίδωσι τὸ κίνημα; χειμὼν δὲ μικρότερον καὶ ἀμυδρότερον βραδύτερόν τε καὶ ἀραιότερον ποιεῖ τὸν σφυγμόν, ὅμοιον ἡλικίᾳ γεροντικῇ. ἔαρ δὲ καὶ φθινόπωρον μεσοῦντα μέγιστον καὶ σφοδρότατον τάχει τε καὶ πυκνότητι σύμμετρον, ὅμοιον παρέχοντα σφυγμὸν ἀκμάζοντι. Τίνες εἰσὶν οἱ κινδυνώδεις σφυγμοὶ κατωνομασμένοι. Τῶν δὴ σφυγμῶν ἀναγκαῖον καὶ τὰ ὀνόματα ἐκθέσθαι. οὕτω γὰρ ἂν εὐσημότερον διδαχθείημεν τὰς προσηγορίας κατατάξαντες αὐτῶν. κεῖται δὲ καὶ παρ' Ἡροφιλείοις καὶ παρὰ Ἀρχιγενείοις τούτων κατάλογος. καλεῖται γὰρ ὁ μέν τις ἐκλείπων σφυγμός, ὁ δὲ διαλείπων, ὁ δὲ παλινδρομῶν καὶ δορκαδίζων καὶ τρομώδης καὶ μύουρος. ἀκολούθως δὲ περὶ ἑκάστου λέξομεν. Τίς ὁ ἐκλείπων σφυγμός. Ὁ ἐκλείπων καλούμενος σφυγμὸς καὶ ἀπ' αὐτοῦ τοῦ ὀνόματος ἐμφαίνει τὸ περὶ αὐτὸν ἰδίωμα. ἐλαττούμενος γὰρ ἀεὶ μᾶλλον κατά τε τὸ μέγεθος καὶ τὴν σφοδρότητα καὶ κατὰ τὴν συμμετρίαν τοῦ τάχους καὶ τῆς πυκνότητος τὸ τέλεον ἐκλείπων οὐκέτι φαίνεται. διὸ καὶ ἐν τοῖς πάνυ χαλεποῖς καὶ ὀλεθρίοις τοῦτον τίθεμεν ὡς προσημαίνοντα τὸν ὄλεθρον. Τίς ὁ διαλείπων σφυγμός. Ὁ διαλείπων καλούμενος σφυγμὸς παντελῆ μὲν ἀφανισμὸν οὐ ποιεῖ τῆς κατὰ τὴν ἀρτηρίαν κινήσεως, ἀθρόως δὲ ἀποκοπεὶς καὶ ἐφησυχάσας κατὰ τὴν συστολὴν χρόνον τινὰ ἐπανέρχεται πάλιν. καὶ ἔστιν ἐν αὐτῷ ἡ διαφορὰ τοιαύτη τις. διαλείπει γὰρ ἤτοι παρ' ὀλιγωτέρας 〈..〉 καὶ τοῦτο γίνεται τεταγμένως ἢ ἀτάκτως. ποτὲ μὲν γὰρ μετὰ πλείονας σφυγμοὺς οἷον τέσσαρας ἢ πέντε διαλείπων, αὖθις μὴ φυλάξας τὴν τάξιν, μετὰ δύο ἢ τρεῖς πληγὰς διαλείπει· ἢ ἐκ τῶν ἐναντίων μετὰ ὀλιγωτέρας διαστολὰς ἐπανέρχεται ἐπὶ τὰς πλείονας· ἢ τὸ ἔντακτον φυλάσσει, τὴν αὐτὴν ἰσότητα ποιούμεν〈οσ〉 τῶν κατὰ τὰ διαλείμματα χρόνων. τὸν μὲν οὖν παρ' ὀλιγωτέρας ἀνταποδώσεις σφυγμὸν διαλείποντα μᾶλλον ὀλέθριον νομιστέον, τὸν δὲ παρὰ πλείονας ἧττον, οἷον τὸν παρὰ μίαν κίνησιν τοῦ παρὰ δύο, καὶ τὸν παρὰ δύο τοῦ παρὰ τρεῖς, καὶ τὸν παρὰ τρεῖς τοῦ παρὰ τέσσαρας, καὶ κατὰ τὰ ἑξῆς ὁμοίως. ὅπου μὲν γὰρ συνεχεστέρας οὔσης τῆς κατὰ τὸν σφυγμὸν ἐνεργείας καὶ οὐ διατεμνομένης πυκνῶς ὑπὸ τοῦ διαλείποντος σφυγμοῦ, ἔτι τὴν δύναμιν ἐρρῶσθαι ὑποληπτέον, ὅτε δὲ οὔ, τοὐναντίον. Τίς ὁ παλινδρομῶν σφυγμός. Ὁ δὲ παλινδρομῶν σφυγμός ἐστιν ὁ πλείονα χρόνον ἐν τῇ συστολῇ μένων καὶ φαντασίαν ἀποτελῶν παντελοῦς ἀσφυγξίας, εἶτα πάλιν ἐπανιστάμενος καὶ πλήσσων.

ὅσῳ δ' ἂν διὰ πλείονος παλινδρομήσῃ χρόνου, τοσούτῳ μᾶλλόν ἐστιν ὀλεθριώτατος διὰ τὸ τὸν ζωτικὸν τόνον μελετᾶν ἐκ τοῦ κατὰ λόγον ἀπόλλυσθαι. ὅνπερ γὰρ τρόπον αἱ λυχνιαῖ〈αι〉 φλόγες μειωθεῖσαι τὸ πῦρ αἰφνίδιον ἐκλείπουσιν, εἶθ' ὅσον οὐ σβέννυνται τέλεον, τὸν αὐτὸν τρόπον καὶ ἡ ζωτικὴ δύναμις ἐκ τοῦ κατ' ὀλίγον σβεννυμένη καὶ πρὸς ἐλάχιστον συμπληξαμένη ἀθρόως ἀποκόπτεται. σχέσιν δὲ ὁ παλινδρομῶν πρὸς τὸν διαλείποντα ἔχει τοιαύτην συνυπάρχουσαν ἀλλήλοις. οὔτε γὰρ ὁ διαλείπων δύναται νοηθῆναι δίχα τοῦ παλινδρομοῦντος οὔτε χωρὶς τοῦ διαλείποντος ὁ παλινδρομῶν, ἀλλ' ἀνάγκη σῶσαι τούτους πρὸς ἀλλήλους τοιαύτην τινα σχέσιν, ἵνα νοηθῶσιν ἑκάτεροι. δεῖ γὰρ τὸν μὲν διαλείποντα σφυγμὸν μεταβάλλειν ἐκ κινήσεως εἰς ἀκινησίαν, τὸν δὲ παλινδρομοῦντα τοὐναντίον εἰς κίνησιν ἐξ ἀκινησίας. μήποτε οὖν, εἰ χρὴ φάναι τἀληθές, τοῖς προγενεστέροις μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνεγράφησαν ὡς διαφέρουσαι ἀλλήλων αἱ ποιότητες αὗται τῶν σφυγμῶν, διενηνόχασι δὲ μόνοις τοῖς ὀνόμασι; Τίς ὁ δορκαδίζων 〈σφυγμός〉. Ὁ δορκαδίζων σφυγμὸς καλεῖται καὶ διπλασιάζων, ἁπλοῦς δέ ἐστιν, ἐν μιᾷ διαστάσει δὶς πλήσσων, εἶτα διαστελλόμενος. διαστᾶσα γὰρ ἡ ἀρτηρία καὶ παρασχοῦσα φαντασίαν συστολῆς, ἔτι μετέωρος τυγχάνουσα, πάλιν προσεπιδιίσταται καὶ τότε τὴν ὀφειλομένην ἀπολαβοῦσα συστολὴν, ὁμοίως ἐξερ〈εθ〉ίζει τὴν ἁφὴν διπλῆν ἐν τῇ μιᾷ διαστολῇ ποιουμένη τὴν ὁρμήν. ὅθεν καὶ δορκαδίζων ὁ τοιοῦτος ἐκλήθη σφυγμὸς οὐκ ἀτόπως. ὥσπερ γὰρ αἱ δορκάδες ἐν τοῖς δρόμοις τὰ μὲν πρῶτα μικρὰ διαβαίνουσιν, εἶτα αἰφνίδιον ἐπὶ τὸ μεῖζον ἐξάλλονται καὶ πρὸς τὸν ἀέρα μετεωρισθεῖσαι πάλιν προσάλλονται πρὶν ἐπιβῆναι τῆς γῆς, οὕτω καὶ ὁ δορκαδίζων σφυγμὸς μικρὰς καὶ ἀμυδρὰς ποιησάμενος τὰς πρώτας διαστολὰς ἐπὶ πλέον διαστέλλεται καὶ μένων ἐν τῇ αὐτῇ διαστολῇ πρὸ τοῦ πεσεῖν πάλιν προσεπιδιιστάμενος πλήσσει τὴν ἁφήν. Ἡρόφιλος μὲν οὖν ὁ πρῶτος ὀνομάσας δορκαδίζοντα σφυγμόν φησιν ἅπαξ ἑωρακέναι ἐπί τινος εὐνούχου, ἡμῖν δὲ συνεχῶς ἐπὶ τῶν ἔργων ἐπέπεσεν ἔν τε φρενητικαῖς καὶ καρδιακαῖς διαθέσεσι. Τίς ὁ μυρμηκίζων σφυγμός. Ὁ μυρμηκίζων ὀνομαζόμενος σφυγμὸς ταπεινός ἐστι καὶ στενὸς καὶ ἀμυδρὸς ἰσχυρῶς, συστολὴν ὀλιγοχρόνιον ποιῶν ἢ δοκῶν ποιεῖν, ἀλλ' αὐτόθεν οἱονεὶ σπαίρων, τάχα μὲν διὰ τὴν μικρότητα τοῦ μύρμηκος, ᾧ παρόμοιος ὢν τοιοῦτός ἐστιν ὁ σφυγμός, τάχα δὲ καὶ διὰ τὴν ἐμφέρειαν τὴν πρὸς τὴν κίνησιν. ὥσπερ γὰρ ἄνευρα βαίνει τὸ ζῷον καὶ μικρὰ καὶ ἄδαρτα καὶ ὅλως οὐ συγκινοῦντα τὴν αἴσθησιν, οὕτω δὴ καὶ πρὸς τὴν ἁφὴν ὁ σφυγμὸς τοιαύτην ποιεῖται τὴν αἴσθησιν ἀμυδροτάτην καὶ μικροτάτην συνεχῆ τε καὶ γηρῶσαν. εὑρίσκεται δὲ ἐπὶ καρδιακῶν· καὶ ἐπὶ τῶν ἄλλων δὲ θεωρεῖται συνεχέστερον τῶν ἤδη πρὸς τῷ τελευτᾶν ὄντων. Τίς ὁ σκωληκίζων σφυγμός. Ὁ δὲ σκωληκίζων καλούμενος σφυγμὸς ἐκ τῶν αὐτῶν τῷ μυρμηκίζοντι συνέστηκε. κατὰ μὲν ἐνίους οὐδὲν διαφέρει ἢ τῇ προσηγορίᾳ μόνῃ, κατὰ δὲ τοὺς ἀκριβέστερον τοῖς ἰδιώμασι τῶν σφυγμῶν παρακολουθήσαντας θεωρεῖται παραλλαγή τις ἐν τοῖς κινήμασι τοῖς ἑκατέρωθεν καὶ διαφερούσης ἔτυχον εἰκότως τῆς ὀνομασίας. ὁ μὲν γὰρ μυρμηκίζων, ὡς προειρήκαμεν, παρέχει φαντασίαν μύρμηκος ὑπὸ τῇ ἁφῇ περιπατοῦντος, ὁ δὲ σκωληκίζων τὴν κίνησιν σκώληκος παραπλησίαν ἐν τῇ πορείᾳ ποιεῖται πρὸς τὴν ἁφήν. [445]

(450) ὅνπερ οὖν τρόπον σκώληξ μικρότατος τῷ σώματι τυγχάνων κινεῖται καθάπερ ἐγειρομένων ἐν αὐτῷ, τῶν δὲ προσπιπτόντων ἀπὸ τῶν τελευταίων μερῶν ἄχρι τῆς κεφαλῆς, τοῦτον δὴ τὸν τρόπον καὶ ὁ σφυγμὸς 〈ὁ〉 σκωληκίζων καταλαμβάνεται τὰς κινήσεις ἐπισυνάπτων ταῖς πρώταις ἐφεξῆς κατὰ τὴν δοκοῦσαν εἶναι περὶ αὐτὸν διαστολὴν μετὰ τοῦ καὶ τὸ πνεῦμα τὸ κινοῦν τὴν ἀρτηρίαν ἡνωμένον μὲν ὑποπίπτειν, πολλὴν δὲ τὴν ἀτονίαν καὶ ὡς εἰπεῖν ἀπώλειαν ἔχον. ἐπὶ δὲ τοῦ μυρμηκίζοντος πᾶν τοὐναντίον ἔστιν εὑρεῖν· ὑποπίπτει γὰρ οἷον εἰ〈ς〉 πολλὰ καὶ λεπτὰ καταδιῃρημένον τὸ πνεῦμα καὶ διὰ τοῦτο μᾶλλον συγκινεῖν δοκεῖ τὴν αἴσθησιν. ἀλλ' οὗτος μὲν ὄντως ἐστὶν ὀλέθριος, ὁ δὲ σκωληκίζων ἧττον κινδυνώδης. Τίς ὁ μυουρίζων σφυγμός. Ὁ δὲ μυουρίζων σφυγμὸς τέτευχε ταύτης τῆς ὀνομασίας ἀπὸ τοῦ περὶ αὐτὸν σχήματος. ἔστι δὲ πολυειδὴς καὶ πολυκίνητος, ἐκ τῆς τῶν ἀνωμάλων καὶ ἀτάκτων διαφορᾶς τὴν ἐπισύνθεσιν εἰληφώς. ὅταν γὰρ μείζων προσπεσοῦσα πληγὴ ἀεὶ καὶ μᾶλλον κατὰ τὸ ἑξῆς σμικρύνηται, μύουρον ἀποτελεῖ σφυγμόν, ἢ ὅταν πληγὴ στερεωτέρα ὑποπεσοῦσα κατὰ τὴν πρώτην ἐπαφὴν ἀμυδρότερον πλήσσῃ, ἢ ὅταν πυκνότερον προσπεσοῦσα ἀεὶ καὶ μᾶλλον ἀραιοτέρα 〈ᾖ〉, ἢ ὅταν ταχυτέρα ἀποτελεσθεῖσα ἡ κίνησις ὕστερον ᾖ βραδύνουσα ἢ ἐκ τῶν ἐναντίων ἀπὸ τοῦ σμικρυνομένου προκόπτῃ ἐπὶ τὸ μεῖζον ἢ ἐκ τοῦ ἀραιοῦ ἐπὶ τὸ πυκνότερον ἢ ἐκ τοῦ βραδέος ἐπὶ τὸ ταχύτερον. καὶ τοῦτο γίνεται ποτὲ μὲν κατὰ μείωσιν ἢ ἀφαίρεσιν, ποτὲ δὲ κατὰ πρόσθεσιν ἢ αὔξησιν. οἱ οὖν τοιοῦτοι οἰκείως καλοῦνται μυουρίζοντες σφυγμοί. συνίστανται δὲ καὶ ἄλλα μυούρων τοιαῦτα τινὰ περὶ τὸν σφυγμόν, ἃ δίκαιον ἐγκατατάξαι τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γραφῇ πολυμαθείας χάριν. ἤτοι γὰρ ἐκ τῶν ὑπερκειμένων ἐπὶ πλέον ἡ ἀρτηρία ποιεῖται τὴν διάστασιν σφοδρῶς καὶ ταχέως, ἐκ δὲ τῶν πρὸς τῷ καρπῷ μερῶν ταπεινῶς καὶ βραδέως ὡς ἐπ' ὀλίγον ἅπτεσθαι τῆς ἁφῆς· ἢ τοὐναντίον ἐκ τῶν ὑπερκειμένων ἐπ' ὀλίγον ποιεῖται τὴν διόγκωσιν καὶ ἀσθενῆ καὶ βραδυτέραν τὴν κίνησιν, ἐκ δὲ τῶν πρὸς τῷ καρπῷ μερῶν ἐπὶ πλέον διίσταται καὶ ταχύνει τὸ κίνημα. γίνεται δὲ μύουρος καὶ τούτῳ τῷ τρόπῳ, ὅταν πρῶτος πλατὺς ὑποπεσὼν σφυγμὸς εἰς κορυφὴν καταλήξῃ στενὴν ἢ ἐκ στενότητος εἰς πλατύτητα ἢ ἀρξάμενος σφοδρῶς ἐκ τῆς βάσεως κινεῖσθαι πρὸς τῷ τέλει τῆς διαστολῆς ἄτονος γένηται. Τίς ὁ τρομώδης σφυγμός. Ὁ δὲ τρομώδης καλούμενος σφυγμὸς ποικιλώτατος καὶ κινδυνω〈δέσ〉τατός ἐστιν ἐκ τῶν ἀνωμάλων καὶ ἀτάκτων τὴν ἐπιπλοκὴν ἔχων. ὅταν γὰρ κατ' ἄλλα μὲν μέρη τάχιον, κατ' ἄλλα δὲ βράδιον ἡ ἀρτηρία προσπίπτῃ τῇ ἁφῇ καὶ μηδέποτε ἐν αὐτῷ τῷ χρόνῳ μένῃ, ἀλλὰ καθάπερ κινουμένη τε καὶ κραδαινομένη καταλαμβάνηται καὶ οἷον ἐπιπλοκὴν τῶν κινήσεων ἑκατέρων, τῆς τε κατὰ τὴν διαστολὴν καὶ τῆς κατὰ 〈τὴν〉 συστολήν, ἔχουσα, τηνικαῦτα κέχυται τὸ τάχος καὶ ὁ ῥυθμὸς ἐπὶ τοῦ τοιούτου κινήματος. οὐκ ἀτόπως οὖν τινες ὡμοίωσαν τὴν τοιαύτην τοῦ σφυγμοῦ κίνησιν τῷ γινομένῳ περὶ τοῖς ἐξακοντισμοῖς τῶν δοράτων κραδασμῷ· καθάπερ γὰρ ταῦτα κατὰ τὴν φορὰν καὶ τὴν ἔρεισιν ἐπισείεται τρομώδη πανταχόθεν διδόντα τὸν περὶ αὐτοῖς κλόνον, οὕτως καὶ τὴν ἀρτηρίαν εὑρίσκεσθαι σαλευομένην. τῶν δὲ διαστολῶν καὶ τῶν συστολῶν ὑπὲρ εὐσήμου διδασκαλίας ἐροῦμεν καὶ παράδειγμά τι παρὰ τοῖς Ἡροφιλείοις τιθέμενον τοιοῦτον. ὥσπερ γάρ, φασί, τρυπήμασιν αὐλῶν περιτεθέντων λεπτοτάτων ἀραχνίων, ἔπειτα ἐμπνευσθέντων ὑπὸ τοῦ μουσουργοῦ τῶν αὐλῶν, πρὸς τὴν διαδρομὴν δὲ καὶ τὴν ἔμπτωσιν τρομώδης αὐτῶν ὁρᾶται κίνησις ἐπὶ τοῖς τρυπήμασιν, οὐκ ἴσης οὐδὲ ὁμαλῆς γινομένης αὐτῶν τῆς διασαλεύσεως ὅλων, ἀλλὰ μετεωριζομένων κατ' ἄλλα μὲν μέρη μᾶλλον, κατ' ἄλλα δ' ἧττον, καὶ καθ' ἃ μὲν εὐτονώτερον ἐπανισταμένων, καθ' ἃ δὲ ἀσθενέστερον, οὕτω δὴ καὶ τὴν ἀρτηρίαν κινεῖσθαι λέγουσιν ἀνωμάλως κατὰ μέν τι διαστελλομένην μέρος ἐπὶ πλέον, κατὰ δέ τι ἔλαττον καὶ πῇ μὲν βιαιότερον, πῇ δὲ ἀσθενέστερον.

Ἐφ' ὅσον οὖν ἡμῖν δυνατὸν ἦν περὶ τὴν νόησιν τοῦ περὶ σφυγμῶν συντάγματος, ταῦτα συνεισηνέγκαμεν. τὸ δὲ ἐν πολλοῖς ἰδιοτροπώτερον μὴ κατὰ τὸν Ἱπποκράτην ὅτι ξενοπρεπὲς καὶ μὴ ξύνηθες καταφρονηθήτω, ἀλλὰ τῇ πρὸς τὰ ἄλλα παραθέσει κριθήτω. εἰ δέ τις ἢ κατ' ἀκολουθίαν ἢ κατὰ πολύνοιαν κρείττονα τῶν ἡμερῶν εὕροι, αὐτός με Ἐρασίστρατος ῥύεται ἀεὶ πλέον νεωτέρᾳ παλαιᾶς εἰς εὕρεσιν διδούς. Τέλος τῶν περὶ σφυγμῶν Μαρκελλίνου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org